ὁ βορβορώδης ἀναιδῶς ἐπιπηδήσας τούτοις
ἔλαβε τὸ βασίλειον, ἄρξας ὁ θὴρ ἀδίκως·
ὃς παῖδα τὸν Ἀλέξιον καὶ τὴν μητέρα τούτου

Ἔλαβε τὸ βασίλειον Ἀνδρόνικος ἀδίκως.

ἀνόμως ἐπανέπνιξε βρόχοις τὸ ζῆν στερήσας.
εἶθ' οὕτως σῶμα τὸ πνιγὲν κελεύσας μαστιχθῆναι
καὶ σούβλαν τούτου τοῖς ὠσὶν ἀνηλεῶς ἐμπήξας,
ἀπέτεμε τὴν κεφαλὴν ὁ δυσσεβὴς αὐτίκα,
ῥίψας αὐτὴν βόθρῳ τινὶ καὶ βορβορώδει τόπῳ·
τὸ δέ γε σῶμα τοῦ παιδὸς κεράμῳ μολιβδίνῳ
συσφίξας προσαπέῤῥιψε τάχος ἐν τῇ θαλάσσῃ,
ψευσάμενος τὸ πρότερον ἐν ὅρκοις φρικαλέοις
δείξας ποτήριον σεπτὸν ἔνδον ἐν τοῖς ἀδύτοις,

Ὦ τῶν κριμάτων σου, Χριστέ· πῶς παραβλέπεις ταῦτα.

ὡς Ἀλεξίου τοῦ παιδὸς κράτος ζωήν τε τούτου
καλῶς φυλάξαι προσειπὼν παντὸς ἑστῶτος κλήρου.
παιδὸς δὲ τὴν ὁμόζυγα σχὼν οὗτος παρανόμως

Ἰδὲ παρανομίας Ἀνδρονίκου.

ἕνδεκα χρόνων τὴν αὐτὴν ὑπάρχουσαν, οὐ πλείω
τὴν δρόσον ἀποστάζουσαν ἀθέσμως ἐμοιχᾶτο,
γέρων αὐτὸς τριπέμπελος καὶ φαλακρὸς τὴν κάραν [1]).
ἠμέλησαν, ἐσβέσθησαν οἱ κεραυνοὶ πρηστῆρες;
βαβαί, Χριστέ, κριμάτων σου! βαβαὶ τῆς ἀνοχῆς σου!
εἶθ' οὕτως εὑρηκὼς αὐτὸς τὸν αἱμοβόρον κύνα,
ἐκεῖνον τὸν παμμίαρον ἄνδρα Χριστοφορίτην [2])
(ἢ μᾶλλον τὸν αὐτὸν εἰπεῖν Ἀντιχριστοφορίτην),
τύραννος οὗτος γέγονε σύμβουλον ἔχων τοῦτον,
τοῖς αἵμασι τερπόμενος καὶ φόνοις τοῖς ἀνθρώπων.

---

[1]) Ἁρμόζεται Ἀνδρονίκῳ πρὸς συμβίωσιν Ἄννα ἡ τοῦ βασιλέως Ἀλεξίου μνηστή, θυγάτηρ οὖσα τοῦ τὴν ἀρχὴν τῶν Φράγγων διέποντος· καὶ οὐκ ᾐσχύνετο Κρονίων ἀπόζων ἀνεψιοῦ γυναικὶ μιλτοπαρήῳ καὶ τρυφερᾷ, καὶ μήπω τὸ ἑνδέκατον ἔτος ἐξηνυκυίᾳ συγκατακείμενος ἀθεμίτως καὶ παραγκαλιζόμενος ὁ πέπων τὴν ὀμφακίζουσαν, ὁ ὑπέρωρος τὴν ἡλικίαν τὴν ὀρθότιτθον νεανίδα καὶ ὁ ῥικνὸς τῷ χρόνῳ καὶ χαλαρὸς τὴν ῥοδοδάκτυλον κορίσκην καὶ δρόσον ἔρωτος στάζουσαν. Nicet. Acom. p. 357. Diese Stelle möge zugleich als Beweis dienen, wie sclavisch der Verfasser unserer versificirten Chronik seine Quellen benutzt.

[2]) Über Christophorites oder Stephanos Hagiochristophorites s. Nicet. Acom. p. 381: ὁ δὲ Ἁγιοχριστοφορίτης, ὃν καὶ Ἀντιχριστοφορίτην οἱ τότε ὠνόμαζον ἄνθρωποι. Über die Befragung des Wahrsagers Seth durch denselben: ibid. p. 442—443. Seine Ermordung durch Isaak Angelos ibid. p. 444.